Ephraem <Syrus>; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 186



fructibus plantisque fructiferis pleno, qui tum vario sapore, tum odore, tum jucunditate sua, mirificam oculis delectationem, & ori atque odoratui recreationem afferunt. Ita & divinæ gratiæ fluctus illuminant, dulcefaciunt, & exhilarant. Beata illius animæ opera, quæ in seipsa habet undas gratiæ: illustratur enim, afficitur dulcedine, gaudio perfunditur, contemplatione ac suavissimo odore repletur. Iterum dico: Beata illa anima, quæ cunctis divinæ gratiæ donis ornata est. Nihil anima illa intuetur in terra, sed tota defixa hæret in Deo: cum thalami suavitas & gratia illam aliorsum se vertere nequaquam permittat. Ecce rursus ad fores Domini mei procido, supplicans, obsecrans, adorans, & continue dicens: Ignosce mihi, & dimitte delicta mea, clementissime. Expedit enim servo, posteaquam peccavit, non effugere manus Domini sui: sed omni potius cum submissione & humilitate cordis ab eo veniam exspectare. Nam sic etiam homines delinquentibus servis suis offensas condonare consueverunt. Quod si homines mortales & improbi errata conservis dimittunt; quanto magis sanctus & bonus Dominus, omnium nostrum conditor, omniumque creator Deus, multum misericors, miserator & patiens, iniquitates atque delicta peccatoribus remittet, qui supplices ad eum assidue confugiunt? Thesaurus siquidem misericordiæ ejus saltem modicam animi promtitudinem a nobis requirit, & mox gratiæ suæ divitias profundit in eos, qui ipsum cum magna contritione requirunt. Nam similis est thesaurus ille fonti uberrimo, qui aquam haurientibus abunde præbet. Unde facile est cuivis explicare, quo pacto fons ille divinis miserationibus comparetur. Quemadmodum enim fons volentem non prohibet; ita gratiæ thesaurus nullum hominem arcet, quo minus particeps illius reddatur. Modo igitur voluntas accipiendæ gratiæ, potiendique thesauro adfuerit, illico totus gratiæ thesaurus quærenti patebit. Haurite ex hoc fonte, carissimi, cœlestium donorum rivos atque fluenta, dum licet. Tempus enim veniet, & dies, quando ex eo bibere plane nemini licebit. Quamobrem immensam benignitatem tuam, Domine sancte, cuncti mortales rogamus, ut nobis largiaris spatium pœnitentiæ, & veniam peccatorum, ut tibi puro corde cunctis diebus vitæ nostræ serviamus, gratique tibi in bonis operibus effecti, sic vitam nostram transfigere mereamur, ut ad

A καρπῶν καλῶν καὶ φυτῶν καρποφόρων, ἐχόντων δὲ καὶ τὰς γεύσεις διαφόρους, εὐωδίαν, καὶ τερπνότητα, καὶ τοῖς ὀφθαλμοῖς ἡδύτητα, καὶ τῷ στόματι καὶ τῇ ὀσφρήσει ἐράσμια. Οὕτως εἰσὶ τὰ κύματα τῆς χάριτος· φωτίζουσι, γλυκαίνουσιν, εὐφραίνουσι. Μακάρια τὰ ἔργα τῆς ψυχῆς ἐκείνης τῆς ἐχούσης τὰ κύματα τῆς χάριτος ἐν αὐτῇ· φωτίζεται, γλυκαίνεται, εὐφραίνεται, θεωρίας καὶ εὐω-
B δίας ἐμπιμπλᾶται. Πάλιν ἐρῶ, μακαρία ἡ ψυχὴ ἡ ἔχουσα πάντα τὰ χαρίσματα· οὐδὲν ὁρᾷ ἡ τοιαύτη ἐπὶ τῆς γῆς, ἀλλ' ἔστιν αἰχμάλωτος πρὸς τὸν Θεόν· οὐ γὰρ ἀφίησιν αὐτὴν τοῦ ῥέμβεσθαι ἡ ἡδύτης καὶ ἡ χάρις τοῦ νυμφῶνος. Ἰδοὺ πάλιν προσπίπτω ἐπὶ θύραις τοῦ ἐμοῦ Δεσπότου, ἱκετεύων, παρακαλῶν, προσκυνῶν, καὶ λέγων ἀεί· συγχώρησόν μοι τὰ πλημμελήματά μου, μακρόθυμε· συμφέρει γὰρ τῷ οἰκέτῃ μὴ ἐκφυγεῖν
C τὰς χεῖρας τοῦ Δεσπότου αὐτοῦ, ὅταν αὐτῷ ἁμάρτῃ, ἀλλὰ μᾶλλον παραμένειν ἐν πάσῃ ταπεινοφροσύνῃ τῆς καρδίας αὐτοῦ. Οὕτω γὰρ καὶ ἄνθρωποι εἰώθασι συγχωρεῖν τοῖς οἰκέταις τὰ παραπτώματα. Εἰ δὲ ἄνθρωποι θνητοὶ ὄντες καὶ πονηροὶ συγχωροῦσι τοῖς συνδούλοις τὰ σφάλματα, πόσῳ μᾶλλον ὁ Δεσπότης ὁ ἅγιος καὶ ἀγαθὸς, πάντων ἡμῶν δημιουργὸς καὶ κύριος, ὁ πολυεύσπλαγ-
D χνος καὶ οἰκτίρμων, ὁ μακρόθυμος καὶ πολυέλεος, συγχωρήσει ἀνομίας καὶ ἁμαρτίας τοῖς πάντοτε προσπίπτουσιν αὐτῷ ἁμαρτωλοῖς; Καὶ γὰρ αὐτὸς ὁ θησαυρὸς τοῦ ἐλέους τὴν παρ' ἡμῶν ζητεῖ μικρὰν προθυμίαν, καὶ εὐθέως χαρίζεται καὶ πλουτίζει τοὺς ζητοῦντας αὐτὸν μετὰ παντὸς συντρίμματος. Ἔοικε γὰρ ὁ θησαυρὸς πηγῇ πλήρει, εὐθυνούσῃ ἐν βλύσμασι, καὶ ἀφθόνως παρεχούσῃ τοῖς θέ-
E λουσιν ὑδρεύεσθαι. Πρέπον ἐστὶ τοῖς περὶ πηγῆς λέγειν, ὅτι ἔοικε τοῖς οἰκτιρμοῖς τοῦ Θεοῦ. Ὥσπερ γὰρ ἡ πηγὴ οὐ κωλύει τὸν θέλοντα, οὕτως πάλιν ὁ θησαυρὸς τῆς χάριτος οὐ κωλύει τοῦ μεταχεῖν αὐτὴν τινα ἐν ἀνθρώποις. Οὐκοῦν ἔστιν ἡ βούλησις τοῦ λαβεῖν τὴν χάριν, μικρὸν ἐὰν ποθῇ τις λαβεῖν τοῦ θησαυροῦ, ὅλος ὁ θησαυρὸς τῆς χάριτος εὑρίσκεται τῷ ζητοῦντι. Ὑδρεύσασθε, ἀγαπητοί, χαρίσματα ἐκ
F τῆς πηγῆς οὐράνια νάματα βρυούσης. Καιρὸς γὰρ καὶ ἡμέρα ἐλεύσεται, ὅτε οὐκ ἔτι δυνήσεταί τις παντελῶς πιεῖν ἐξ αὐτῆς. Διὸ δέσποτα ἅγιε, δεόμεθα τῆς ἀμέτρου σου φιλανθρωπίας πάντες ἄνθρωποι, παράσχου ἡμῖν μετανοίας καιρὸν, καὶ συγχώρησιν ἁμαρτιῶν, πρὸς τὸ δουλεῦσαί σοι ἐν καθαρᾷ καρδίᾳ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, ἵνα ἀξιωθῶμεν εὐαρεστήσαντές σοι ἐν ἔργοις ἀγαθοῖς, διελθεῖν τὸν βίον

http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0434
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg